ΑΓΙΑ ΓΡΑΦΗ

- Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω· **ἐμίσησα ἐκκλησίαν πονηρευομένων καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω**.
  **(Ψαλμός ΚΕ', στχ. 4-5)**

- Ἀλλοτρίῳ δὲ (σ.σ. ποιμένα) **οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπὸ αὐτοῦ,** ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν.
  **(Ιωάν. ι' , 5)**

- Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν, ὥστε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν. καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, **ἵνα ἀρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας**; ἐγὼ μὲν γάρ, ἀπὼν τῷ σώματι παρὼν δὲ τῷ πνεύματι, ἤδη κέκρικα ὡς παρὼν τὸν οὕτως τοῦτο κατεργασάμενον ἐν τῷ ὀνόματι τοῦ κυρίου [ἡμῶν] Ἰησοῦ, συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος σὺν τῇ δυνάμει τοῦ κυρίου ἡμῶν Ἰησοῦ, παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου.
  **(Κορινθ. ε', 1-5)**

  (σ.σ. Η νουθεσία του Αγίου Αποστόλου Παύλου προς τους Κορινθίους αφορά και εμάς, τους αντιμετωπίζοντες την παναίρεση του Οικουμενισμού, και τούτο διότι η αίρεση, κατά τους Αγίους Πατέρας, αποτελεί πνευματική μοιχεία του χειρίστου είδους.)

- Ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ μὴ συναναμίγνυσθαι Πόρνοις, οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου ἢ τοῖς πλεονέκταις καὶ ἅρπαξιν ἢ εἰδωλολάτραις, ἐπεὶ ὠφείλετε ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν. νῦν δὲ

ἔγραψα ὑμῖν μὴ συναναμίγνυσθαι **ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾗ πόρνος ἢ πλεονέκτης ἢ εἰδωλολάτρης ἢ λοίδορος ἢ μέθυσος ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν** . Τί γάρ μοι τοὺς ἔξω κρίνειν; οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε; τοὺς δὲ ἔξω ὁ θεὸς κρινεῖ. **ἐξάρατε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.**

**(Κορινθ. ε′, 9-13)**

- Ἀλλὰ καὶ ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζεται ὑμῖν παρ'ὅ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω.

  **(γαλ′. κεφ. ά. στιχ. 8)**

- …ὡς προειρήκαμεν , καὶ ἄρτι πάλιν λέγω: εἴ τις ὑμᾶς εὐγγελίζεται ὑμῖν παρ'ὅ παρελάβετε, ἀνάθεμα ἔστω.

  **(γαλ′. κεφ. ά. στιχ. 9)**

- Εἴ τις ἔρχεται πρὸς ὑμᾶς καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει, μὴ λαμβὰνετε αὐτὸν εἰς οἰκίαν, καὶ χαίρειν αὐτῶ μὴ λέγετε. Ὁ γὰρ λέγων αὐτῶ χαίρειν κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς.

  **(Β΄ επιστολή Ιωαν. στιχ. 10)**

- …στέλλεσθε ὑμᾶς άπό παντός ἀτάκτως περιπατοῦντος καὶ μὴ κατά τὴν παράδοσιν ἥν παρελάβατε παρ'ἡμῶν.

  **(Β′ Θεσ. γ′, 6)**

- Ταῦτα δίδασκε καὶ παρακάλει. εἴ τις ἑτεροδιδασκαλεῖ καὶ μὴ προσέρχεται ὑγιαίνουσιν λόγοις, τοῖς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ, τετύφωται, μηδὲν ἐπιστάμενος, ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας, ἐξ ὧν γίνεται φθόνος, ἔρ ις, βλασφημίαι, ὑπόνοιαι πονηραί, διαπαρατριβαὶ διεφθαρμένων ἀνθρώπων τὸν νοῦν καὶ ἀπεστερημένων τῆς ἀληθείας, νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν. **Ἀφίστασο ἀπὸ τοιούτων!**

  **(Τιμόθ Α′, στ′, στιχ. 3-5)**

- Ὦ Τιμόθεε, τὴν παραθήκην φύλαξον, ἐκτρεπόμενος τὰς β εβήλους κενοφωνίας καὶ ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως, ἥν τινες ἐπαγγελλόμενοι περὶ τὴν πίστιν ἠστόχησαν.
  **(Τιμόθ Α', στ', στιχ. 20-21)**

- αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν **παραιτοῦ**, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος καὶ ἁμαρτάνει, ὢν αὐτοκατάκριτος.
  **(Τίτ. γ', στιχ. 10)**